ὕπνοι. ἐγὼ δὲ ἐγύμνωσα αὐτήν, ὅπως οἱ τοῦ κώλου αὐ-
τῆς ὀφθαλμοὶ ὁρῶσι τὴν τράπεζαν. καὶ ὁ ξάνθος, πολ-
λάκις με ὦ δραπέτα ἠχρείωσας. τούτου δὲ ἀχρειότερον οὔπω
εἰργάσω. ᾔσχυνας κἀμὲ καὶ τὴν κυρίαν σου. ἀλλὰ διὰ
τοὺς κεκλημένους οὐκ ὀργισθήσομαι. εὑρήσω γὰρ ὥραν ὅτε
μαστιγώσω, καὶ σφοδρῶς ἀπολέσω σε. μετ' οὐ πολὺ δὲ
ῥήτορας καὶ φιλοσόφους τοῦ ξάνθου καλέσαντος, ἔφη τῷ
αἰσώπῳ, πρὸ τοῦ πυλῶνος σταθεὶς μὴ ἐάσῃς τινὶ τῶν ἰδι-
ωτῶν ἀνδρῶν εἰσελθεῖν ἐν τῷ οἴκῳ μου, ἀλλὰ μόνους τοὺς
σοφούς. τῇ δὲ ὥρᾳ τοῦ ἀρίστου κλείσας ὁ αἴσωπος τὸν
τοῦ οἴκου πυλῶνα, ἐκαθέζετο ἔσω. ἐλθόντος δέ τινος τῶν
κεκλημένων καὶ κρούσαντος τῷ πυλῶνι, ὁ αἴσωπος
ἔφη, τί σείει ὁ κύων; ὁ δὲ ἡγησάμενος, ὅτι κύνα αὐ-
τὸν ἀπεκάλεσεν, ὀργισθεὶς ἀνεχώρησεν. οὕτως οὖν τοῦ